ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ λέγων Διακούετε ἀνὰ μέσον τῶν ἀδελ-
φῶν ὑμῶν καὶ κρίνατε δικαίως ἀνὰ μέσον ἀνδρὸς καὶ ἀνὰ μέσον
ἀδελφοῦ καὶ ἀνὰ μέσον προσηλύτου αὐτοῦ. [17] οὐκ ἐπιγνώσῃ πρόσ- 17
ωπον ἐν κρίσει, κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν κρινεῖς, οὐ
μὴ ὑποστείλῃ πρόσωπον ἀνθρώπου, ὅτι ἡ κρίσις τοῦ θεοῦ ἐστιν·
καὶ τὸ ῥῆμα, ὃ ἐὰν σκληρὸν ᾖ ἀφ᾽ ὑμῶν, ἀνοίσετε αὐτὸ ἐπ᾽ ἐμέ,
καὶ ἀκούσομαι αὐτό. [18] καὶ ἐνετειλάμην ὑμῖν ἐν τῷ καιρῷ ἐκείνῳ 18
πάντας τοὺς λόγους, οὓς ποιήσετε.
[19] Καὶ ἀπάραντες ἐκ Χωρηβ ἐπορεύθημεν πᾶσαν τὴν ἔρημον τὴν 19
μεγάλην καὶ τὴν φοβερὰν ἐκείνην, ἣν εἴδετε, ὁδὸν ὄρους τοῦ Αμορ-
ραίου, καθότι ἐνετείλατο κύριος ὁ θεὸς ἡμῶν ἡμῖν, καὶ ἤλθομεν
ἕως Καδης Βαρνη. [20] καὶ εἶπα πρὸς ὑμᾶς Ἤλθατε ἕως τοῦ ὄρους 20
τοῦ Αμορραίου, ὃ ὁ κύριος ὁ θεὸς ἡμῶν δίδωσιν ὑμῖν. [21] ἴδετε 21
παραδέδωκεν ὑμῖν κύριος ὁ θεὸς ὑμῶν πρὸ προσώπου ὑμῶν τὴν
γῆν· ἀναβάντες κληρονομήσατε, ὃν τρόπον εἶπεν κύριος ὁ θεὸς
τῶν πατέρων ὑμῶν ὑμῖν· μὴ φοβεῖσθε μηδὲ δειλιάσητε. [22] καὶ προσ- 22
ήλθατέ μοι πάντες καὶ εἴπατε Ἀποστείλωμεν ἄνδρας προτέρους
ἡμῶν, καὶ ἐφοδευσάτωσαν ἡμῖν τὴν γῆν καὶ ἀναγγειλάτωσαν ἡμῖν
ἀπόκρισιν τὴν ὁδόν, δι᾽ ἧς ἀναβησόμεθα ἐν αὐτῇ, καὶ τὰς πόλεις,
εἰς ἃς εἰσπορευσόμεθα εἰς αὐτάς. [23] καὶ ἤρεσεν ἐναντίον μου τὸ 23
ῥῆμα, καὶ ἔλαβον ἐξ ὑμῶν δώδεκα ἄνδρας, ἄνδρα ἕνα κατὰ φυλήν.
[24] καὶ ἐπιστραφέντες ἀνέβησαν εἰς τὸ ὄρος καὶ ἤλθοσαν ἕως Φά- 24
ραγγος βότρυος καὶ κατεσκόπευσαν αὐτήν. [25] καὶ ἐλάβοσαν ἐν ταῖς 25
χερσὶν αὐτῶν ἀπὸ τοῦ καρποῦ τῆς γῆς καὶ κατήνεγκαν πρὸς ἡμᾶς
καὶ ἔλεγον Ἀγαθὴ ἡ γῆ, ἣν κύριος ὁ θεὸς ἡμῶν δίδωσιν ἡμῖν.
[26] καὶ οὐκ ἠθελήσατε ἀναβῆναι καὶ ἠπειθήσατε τῷ ῥήματι κυρίου 26
τοῦ θεοῦ ὑμῶν [27] καὶ διεγογγύζετε ἐν ταῖς σκηναῖς ὑμῶν καὶ εἴπατε 27
Διὰ τὸ μισεῖν κύριον ἡμᾶς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου παρα-
δοῦναι ἡμᾶς εἰς χεῖρας Αμορραίων ἐξολεθρεῦσαι ἡμᾶς. [28] ποῦ ἡμεῖς 28
ἀναβαίνομεν; οἱ ἀδελφοὶ ὑμῶν ἀπέστησαν ὑμῶν τὴν καρδίαν λέ-
γοντες Ἔθνος μέγα καὶ πολὺ καὶ δυνατώτερον ἡμῶν καὶ πόλεις
μεγάλαι καὶ τετειχισμέναι ἕως τοῦ οὐρανοῦ, ἀλλὰ καὶ υἱοὺς γιγάν-
των ἑωράκαμεν ἐκεῖ. [29] καὶ εἶπα πρὸς ὑμᾶς Μὴ πτήξητε μηδὲ φοβη- 29
θῆτε ἀπ᾽ αὐτῶν· [30] κύριος ὁ θεὸς ὑμῶν ὁ προπορευόμενος πρὸ 30
προσώπου ὑμῶν αὐτὸς συνεκπολεμήσει αὐτοὺς μεθ᾽ ὑμῶν κατὰ

16 κρινετε A | αδελφου] του αδ. αυτου A || 17 επιγνωσεσθε A | σκληρον η] tr. A | αυτο ult.] υμων B† || 18 παντας τους] tr. A || 19 χωρηβ] σοχωθ A† || 20 του $1^{0}$ > A | υμιν] ημ. A† || 21 υμιν $1^{0}$ > A | υμων $1^{0}$ $3^{0}$] ημ. B | κληρονομειτε A || 22 αναγγ.] απαγγ. B*† | εισπορευομεθα A || 23 εναντιον] ενωπιον A || 26 και $2^{0}$] αλλ A | υμων] ημ. B || 27 διεγογγυσατε A | εις τας χειρας των αμορρ. A || 28 οι] + δε A | υμων/την καρδ.] tr. A | ημων] υμ. B*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/337 UNIVERSITÄT LEIPZIG